κατὰ τῶν πολεμίων χωροῦντας ἔστιν καὶ βληθῆναι καὶ καταπεσεῖν, οἷον καὶ ἐπὶ σοῦ γέγονεν νῦν. Ἀθρόως γὰρ τὸν ὄφιν ἀνελεῖν ἐπιχειρήσας ἐδήχθης. Ἀλλὰ θάρσει, μικρᾶς σοι χρεία νήψεως καὶ οὐδὲ ἴχνος ὑπολειφθήσεται τοῦ τραύματος ἐκείνου, μᾶλλον δὲ θεοῦ χάριτι καὶ αὐτὴν τοῦ πονηροῦ συντρίψεις τὴν κεφαλήν· μηδέ σε ταραττέτω τὸ ταχέως καὶ παρ' αὐτὴν ἐμποδισθῆναι τὴν ἀρχήν· εἶδεν γάρ, εἶδεν ὀξέως ὁ πονηρὸς τῆς σῆς ψυχῆς τὴν ἀρετήν, καὶ γενναῖον αὐτῷ πολέμιον αὐξηθήσεσθαι ἐκ πολλῶν ἐστοχάσατο· τὸν γὰρ εὐθέως τοσαύτῃ καὶ τηλικαύτῃ χρησάμενον κατ' αὐτοῦ τῇ σπουδῇ τοῦτον, εἰ παραμένοι, ῥᾳδίως αὐτὸν καταπαλαίσειν ἤλπισεν. Διὰ τοῦτο ἐγρηγόρησεν, ἔσπευσεν, ἠγέρθη πολὺς κατὰ σοῦ, μᾶλλον δὲ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἂν ἐθελήσῃς στῆναι γενναίως. Τίς γὰρ σοῦ τὴν ὀξεῖαν καὶ εἰλικρινῆ καὶ ζέουσαν ἐπὶ τὰ ἀγαθὰ μετάθεσιν οὐκ ἐθαύμασεν; Ἐδεσμάτων μὲν γὰρ τρυφὴ παρεωρᾶτο, πολυτέλης δὲ ἔσθησις κατεπεφρόνητο, πᾶς τῦφος κατεπεπάτητο, πᾶσα ἡ περὶ τὴν ἔξωθεν σοφίαν σπουδὴ ἀθρόως ἐπὶ τὰ θεῖα μετενήνεκτο λόγια· ὅλαι μὲν εἰς ἀναγνώσεις ἡμέραι, ὅλαι δὲ εἰς εὐχὰς ἀνηλίσκοντο νύκτες· οὐκ ἀξίας ἦν μνησθῆναι πατρικῆς, οὐ πλοῦτον ἐν νῷ λαβεῖν· τὸ δὲ γονάτων ἅψασθαι καὶ ποσὶν προσδραμεῖν ἀδελφῶν τοῦτο πάσης εὐγενείας ἀνώτερον ᾔδεις. Ταῦτα ἔθλιβεν τὸν πονηρόν, ταῦτα εἰς μάχην

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/11 UNIVERSITÄT LEIPZIG